## Greek Epigraphy – Selected Texts from PHI

**IG XII,3 573**

Thera. Archaic.

1 Θαρ(ρ)ῆς.
Ἀγασικλῆς.[1]

**IG XII,3 762**

Thera. Archaic

a.1 Ῥε¯κσάνωρ
ἀρκhαγέτας {Ἀρκhαγέτας?}.
Προκλῆς.
Κλεαγόρας. Περαιεύς.
b.1 Ἄγλων.
Περίλας.
Μάληϙο[ς].
c.1 Λεοντίδας.
d.1 Ὀρθοκλῆς.

**IG II² 3171 / SEG 16:158**

Att. — ca. 150 BC

1 βασιλεὺς Ἀτ|[2]τα[λος] βασιλ|[έω]ς [Ἀτ]τά[λου] | καὶ
a βα[σι]λίσ|σης
Ἀπολλων|[ίδος τὴν στο|ὰν — — — — | .]ρ[— — — τῆς εἰ|ς
τὸν δ]ῆμ[ον
τ|ὸν Ἀθηναίων].

**IG II² 43**

Att. — non-stoich. — 378/7 BC

face A
front.1 ἐπὶ Ναυσινίκο ἄρχοντος.

2 Καλλίβιος ⁝ Κηφισοφῶντος
Παιανιεὺς ⁝ ἐγραμμάτευεν.

4 ἐπὶ τῆς Ἱπποθωντίδο[ς ἑβδ]όμης πρυτα-
νείας· ἔδοξεν τῆι βολ[ῆι καὶ] τῶι δήμω-
ι, Χαρῖνος Ἀθμον[εὺς ἐπ]εστάτει·
Ἀριστοτέλης εἶ[πεν· τύχ]ηι ἀγαθῆι τῆι Ἀ-
θηναίων καὶ τ[ῶ]ν [συμμ]άχων τῶν Ἀθηναίω-
ν ὅπως ἂν Λακεδ[αιμό]νιοι ἐῶσι τὸς Ἕλλη-
νας ἐλευθέ[ρ]ος [καὶ] αὐτονόμος ἡσυχίαν
ἄγειν τὴ[ν χώραν] ἔχοντας ἐμ βεβαίωι τὴ-
[ν ἑαυτῶν . . 6 . . . ]ικ[. . ]οσ[. . 5 . . ]ηι[. . . ]αι
[. . . . . . . . . . . . . . 30 . . . . . . . . . . . . . . ]α
[. . . . 11 . . . . . ]απ[. . ]σ[. . ]ε[. ]σ[. . 6 . . . ]ωσ[. ]ν
[. . 5 . . ἐψηφί]σθαι τῶι δήμωι· ἐάν τις βόλ-
[ηται τῶν Ἑλ]λήνων ἢ τῶν βαρβάρων τῶν ἐν
[ἠπείρωι ἐν]οικόντων ἢ τῶν νησιωτῶν, ὅσ-
[οι μὴ βασι]λέως εἰσίν, Ἀθηναίων σύμμαχ-
[ος εἶναι κ]αὶ τῶν συμμάχων, ἐξεῖναι αὐ[τ]-
ῶ[ι ἐλευθέρ]ωι ὄντι καὶ αὐτονόμωι, πολι-
τ[ευομέν]ωι πολιτείαν ἣν ἂν βόληται μή-
τε [φρορ]ὰν εἰσδεχομένωι μήτε ἄρχοντα
ὑπο[δεχ]ομένωι μήτε φόρον φέροντι, ἐπὶ
δὲ τ[οῖς] αὐτοῖς ἐφ οἷσπερ Χίοι καὶ Θηβαῖ-
οι κα[ὶ] οἱ ἄλλοι σύμμαχοι τοῖς δὲ ποιησ-
αμέν[οι]ς συμμαχίαν πρὸς Ἀθηναίος καὶ
τὸς συμ[μ]άχος ἀφεῖναι τὸν δῆμον τὰ ἐγκ-
τήματα ὅποσ ἂν τυγχάνηι ὄντα ἢ ἴδια ἢ [δ]-
ημόσια Ἀθ[η]ναίων ἐν τῆι χ[ώραι τῶν ποιο]-
μένων τὴν συμμαχίαν κ[αὶ περὶ τούτων π]-
ίστιν δοῦναι α[ὐτοῖς. ἐὰν δέ τωι τ]υγχάν[η]-
ι τῶν πόλεων [τῶν ποιομένων] τὴν συμμαχ-
ίαν πρὸς Ἀθην[αίος σ]τῆλαι ο͂σαι Ἀθήνησ-
ι ἀνεπιτήδειο[ι, τ]ὴμ βολὴν τὴν ἀεὶ βολε-
ύοσαν κυρίαν ε[ἶν]αι καθαιρεῖν· ἀπὸ δὲ Ν-

---

[1] *Sic*; should read Ἀνασικλῆς.

[2] The dividers here appear to be showing the breaks between individual blocks making up the architrave, rather than line divisions.

αυσινίκο ἄρχον[τ]ος μὴ ἐξεῖναι μήτε ἰδ-
ίαι μήτε δημοσ[ί]αι Ἀθηναίων μηθενὶ ἐγ-
κτήσασθαι ἐν τ[α]ῖς τῶν συμμάωχν χώραι-
ς μήτε οἰκίαν μήτε χωρίον μήτε πριαμέ-
νωι μήτε ὑποθεμ̣ένωι μήτε ἄλλωι τρόπω-
ι μηθενί· ἐὰν δέ τις ὠνῆται ἢ κτᾶται ἢ τι-
θῆται τρόπωι ὁτωιῶ̃ν, ἐξεῖναι τῶι βολο-
μένωι τῶν συμμάχων φῆναι πρὸς τὸς συν-
έδρος τῶν συμμάχων· οἱ δὲ σύνεδροι ἀπο-
[δ]όμενοι ἀποδόντων [τὸ μὲν ἥ]μυσυ τῶ[ι] φήναντι, τὸ δὲ
ἀ-
[λλο κοι]νὸν [ἔσ]τω τῶν συ[μμά]χων· ἐὰν δέ τι-
ς ἴ[ηι] ἐπὶ πολέμωι ἐπὶ τ[ὸ]ς ποιησαμένος
τὴν συμμαχίαν ἢ κατὰ γ[ὴ]ν ἢ κατὰ θάλατ-
αν, βοηθεῖν Ἀθηναίος καὶ τὸς συμμάχος
τούτοις, καὶ κατὰ γὴν καὶ κατὰ θάλαττα-
ν παντὶ σθένει κατὰ τὸ δυνατόν. ἐὰν δέ τ-
ις εἴπηι ἢ ἐπιψηφίσηι ἢ ἄρχων ἢ ἰδιώτη-
ς παρὰ τόδε τὸ ψήφισμα ὡς λύειν τι δεῖ τ-
ῶν ἐν τῶιδε τῶι ψηφίσματι εἰρημέν[ων ὑ]-
παρχέτω μ[ὲν] αὐτῶι ἀτίμωι εἶναι καὶ [τὰ]
[χρ]ήμα[τα αὐ]τõ δημόσια ἔστω καὶ τῆς θ[εõ]
[τ]ὸ ἐπιδ[έκα]τον καὶ κρινέσθω ἐν Ἀθην[αί]-
[ο]ις καὶ τ[οῖς] συμμάχοις ὡς διαλύων τὴν
συμμαχία[ν, ζ]ημιόντων δὲ αὐτὸν θανάτω-
ι ἢ φυγῆι ο[ῖ]περ Ἀθηναῖοι καὶ οἱ σύμμαχο-
ι κρατõσι[ν· ἐὰν] δὲ θανάτο τιμηθῆι, μὴ τα-
φήτω ἐν τῆ[ι Ἀττι]κῆι [μ]ηδὲ ἐν τῆι τῶν συμ-
μάχων. τὸ δ[ὲ ψήφι]σμα τόδε ὁ γραμματεὺς
ὁ τῆς βολῆ[ς ἀναγρ]αψάτω ἐν στήληι λιθί-
νηι καὶ καταθέ[τω] παρὰ τὸν Δία τὸν Ἐλευ-
θέριον· τὸ δὲ ἀρ[γύ]ριον δõναι εἰς τὴν ἀν-
αγραφὴν τῆς στ[ήλη]ς ἑξήκοντα δραχμὰς
ἐκ τῶν δέκα ταλ[άν]των τὸς ταμίας τῆς θε-
õ. εἰς δὲ τὴν στήλην ταύτην ἀναγρά-
φειν τῶν τε οὐσ[ῶ]ν πόλεων συμμαχίδων τ-
ὰ ὀνόματα καὶ ἥτις ἂν ἄλλη σύμμαχος γί-
<γ>νηται ταῦτα μὲν ἀναγράψαι, ἑλέσθαι δ-
ὲ τὸν δῆμον πρέσβεις τρεῖς αὐτίκα μάλ-
[α] εἰς Θήβας, [ο]ἵτινες πείσοσι Θηβαίοις ὅ-
[τ]ι ἂν δύνω[ν]ται ἀγαθὸν. οἵδε ηἱρέθησαν
[Ἀ]ριστοτέλης Μαραθώνιος, ν Πύρρανδρο-
ς Ἀναφλύσ[τ]ιος, Θρασύβολος Κολλυτεύς.
Ἀθηναίων πόλεις αἵδε σύμμαχοι·

col. I,II.79

| | |
|---|---|
| Χῖοι Τενέδιοι | Θηβαῖοι |
| Μυτιλη[ν]αῖοι | Χαλκιδῆς |
| [Μ]ηθυ[μν]αῖοι | Ἐρετριῆς |
| Ῥόδιοι Ποιήσσιοι | Ἀρεθόσιοι |
| Βυζάντιοι | Καρύστιοι |
| Περίνθιοι | Ἴκιοι |
| Πεπαρήθιοι | Παλλ[— —] |
| Σκιάθιοι | |
| Μαρωνῖται | |
| Διῆς | |
| Πάρ[ι]οι Ο[— — —] | |
| Ἀθηνῖται Π[— — —] | |

face B left.col . I,II.1

[Κερκυ]ραίων[3]
[ὁ δ]ῆμος
[Ἀβδη]ρῖται
[Θάσι]οι
{vac.}[2]
[Χαλκι]δῆς
ἀπὸ [Θράικης]
{2 vs. vac.}
7 Αἴνιοι
Σαμοθρᾶικ[ες]
Δικαιοπολῖται

[3] A next-to-impossible restoration. [Θη]ραίων is better.

{2 vs. vac.}
10 Ἀκαρνᾶνες
{vac.}
11 Κεφαλλήνων
Πρῶννοι
Ἀλκέτας
{vac.}
14 Νεοπτόλεμος
{vac.}
15 [Ἰάσω]ν
Ἄνδριοι
[Τ]ήνιοι
[Ἑσ]τιαιῆς
{2 vs. vac}
19 Μυ[κ]όνιοι
{vac.}
20 Ἀντισσαῖοι
{vac.}
21 Ἐρέσιοι
{vac.}
22 Ἀστραιούσιοι
{vac.}
23 Κείων
Ἰουλιῆται
{vac.}
25 Καρθαιεῖς
{vac.}
26 Κορήσιοι
{vac}.
27 Ἐλαιόσιοι
Ἀμόργιοι
{vac.}
29 Σηλυμβριανο[ί]
{vac.}
30 Σίφνιοι
Σικινῆται
{2 vs. vac.}
32 Διεῖς
ἀπὸ Θράικης
{vac.}
34 Νεοπολῖται
{16 vs. vac.}
35 Ζακυν[θ]ίων
ὁ δῆμος
ὁ ἐν τῶι Νήλλ-
ωι

face A.col. I,II.91 Ἀριστοτέλης εἶπε· [— — — — — — ἐπει]-
δὰν πρῶτο[ν — — — — — — — — — — —]
ἑκόντες π[ρο]σχωρῶσι [— — — — — — ἐψη]-
φισμένα τῶι δήμωι καὶ τ[— — — — — — —]
95 νήσων εἰς τὴν συμμ[αχίαν — — — — — —]
τοῖς τῶν ἐψηφι[σμένων — — — — — — —]
[— — — — — — — — — — — — — — — — — — — —]

**IG II$^2$ 641**

Att. — stoich. 24 — 299/8 BC

[ἐπ]ὶ Ε[ὐκτήμον]<u>ος ἄρχοντος ἐπὶ</u>
[τ]ῆς Ἀντιγο[νίδος δ]<u>ευτέρας πρ</u>-
[υ]τανείας, ἧι Θεόφιλος <u>Ξενο</u>[φῶ]-
ντος Κεφαλῆθεν ἐγραμμάτε[υε]-
ν· Μεταγειτνιῶνος δεκάτει ὑσ-
τέραι, μιᾶι καὶ εἰκοστεῖ τῆς π-
ρυτανείας· ἐκκλησία· τῶν προέ-
δρων ἐπεψήφιζε Λυσίμαχος Να-
υσιστράτου Προσπάλτιος καὶ
συνπρόεδροι· ἔδοξεν τῶι δήμω-
ι· Φιλιππίδης Φιλομήλου Παια-
νιεὺς εἶπεν· ἐπειδὴ οἱ πρέσβε-
ις οἱ ἀποσταλέντες πρὸς τὸν β-
ασιλέα Κάσσανδρον ἀποφαίνο-
υσι Ποσείδιππον συναποδημή-
σαντα μεθ’ ἑαυτῶν χρήσιμον εἶ-

ναι ἑαυτοῖς ἀποδεικνύμενον
τὴν εὔνοιαν ἣν εἶχε πρὸς τὸν δ-
ῆμον τὸν Ἀθηναίων, δεδόχθαι τ-
ῶι δήμωι ἐπαινέσαι Ποσείδιπ-
πον Βακχίου Κοθωκίδην καὶ στ-
εφανῶσαι αὐτὸν θαλλοῦ στεφά-
νωι, ὅπως ἂν ὡς πλεῖστοι φιλοτ-
ιμῶνται χρείαν παρέχεσθαι ἐ-
[π]ὶ τὰ συνφέροντα τῶι δήμωι· ἀν-
αγράψαι δὲ τόδε τὸ ψήφισμα τὸ-
ν γραμματέα τὸν κατὰ πρυτανε-
ίαν ἐν στήλει λιθίνει καὶ στῆ-
σαι ἐν ἀκροπόλει, εἰς δὲ τὴν ἀν-
αγραφὴν τῆς στήλης δοῦναι τὸ-
ν ἐξεταστὴν καὶ τοὺς τριττυά-
ρχους ν ΔΔ ν δραχμάς.
vacat 0.03
pars superior coronae

**FD III 3:212**

Phokis — Delphi — after 480 BC

Χῖοι Ἀπόλλωνι τὸν βωμόν.

**FD III 3:213**

Phokis — Delphi — stoich. — 4th/3rd c. BC

Δελφοὶ ἔδωκαν
Χίοις προμαντ-
είην.

**IG XII,3 476**

Thera — 117-138 AD

Αὐτοκράτορα Καίσαρα
Σεβαστὸν Τραϊανὸν
Ἁδριανὸν Αὔγουστον
τὸν εὐεργέτην
Φιλήμων.

**IG XII,3 530**

Thera — ca. 1st-beg. 2nd c. AD

ἁ βουλὰ καὶ ὁ δᾶμος Λεωνί-
δην Θεοδότου ἀρετᾶς
ἕνεκεν καὶ {α}<ε>ὐνοίας τᾶς
ἐς τὰν πατρίδα,
τὰς εἰς τὰς τειμὰς
δαπάνας παρασχόντος
ἐκ τῶν ἰδίων Διονυσί-
ου τοῦ Ἀντιόχου.

**IG II² 3173**

Att. — post 27/6 BC. Acropolis.

[ὁ] δῆμος θεᾶι Ῥώμηι καὶ Σ[εβασ]τῶι ⟦Καίσαρι⟧ στρα[τηγ]οῦντος
ἐπὶ τ[οὺς]
ὁπλίτας Παμμένους τοῦ Ζήνωνος Μαραθωνίου ἱερέως θεᾶς
Ῥώμης καὶ Σεβαστοῦ Σωτῆρος ἐπ’ ἀκροπόλει, ἐπὶ ἱερείας Ἀθηνᾶς
Πολιάδος Μεγίστης τῆς Ἀσκληπίδου Ἁλαιέως θυγατρός.
ἐπὶ ἄρχοντος Ἀρήου τ[οῦ] Δωρίωνος Παιανιέως :

**IG I³ 633**

Att. — Athens: Akropolis — c. 510-500? a. — Hsp. 4.1935.150-151; DAA 44

Πείκον εὐχσά-
μενος κερα-
μεὺς δεκάτεν
ἀνέθεκεν
τἀθεναίαι.

**SEG 33:115**

Att. — Athens — stoich. 33 — 247/6? 246/5 BC?

ἐπὶ Πολυεύκτου ἄρχοντος, ἐπὶ τῆς Ἐρεχθη-
ίδος δευτέρας πρυτανείας ἧι Χαιρεφῶν Ἀ-
ρχεστράτου Κεφαλῆθεν ἐγραμμάτευεν, Με-
ταγειτνιῶνος ἑνδεκάτει *v* ἑνδεκάτει τῆ-
ς πρυτανείας *v* ἐκκλησία κυρία· τῶν προέδ[ρ]-

ων ἐπεψήφιζεν *v* Κλείδημος Φρύνωνος Φλ[υ]-εὺς καὶ συμπρόεδροι· *v* ἔδοξεν τῆι βουλῆ[ι] καὶ τῶι δήμωι *v* Δημόστρατος Ἀριστοφάν[ο]-υ Παιανιεὺς εἶπεν· *v* ὑπὲρ ὧν ἀπαγγέλλει Ἀ-ριστοφάνης ὁ ὑὸς τῆς ἱερείας τῆς Ἀγλαύρ-ου ὑπὲρ τῶν ἱερῶν ὧν ἔθυεν τοῖς εἰσιτητη-ρίοις τῆι Ἀγλαύρωι καὶ τῶι Ἄρει καὶ τῶι Ἡλί-ωι καὶ ταῖς Ὥραις καὶ τῶι Ἀπόλλωνι καὶ το-ῖς ἄλλοις θεοῖς οἷς πάτριον ἦν *v* ἀγαθεῖ τ-ύχει, δεδόχθαι τῆι βουλῆι τοὺς προέδρου-ς οἵτιν<ε>ς ἂν προεδρεύωσιν εἰς τὴν πρώτη-ν ἐκκλησίαν χρηματίσαι περὶ τούτων ἐν ἱε-ροῖς, γνώμην δὲ ξυμβάλλεσθαι τῆς βουλῆς εἰς τὸν δῆμον ὅτι δοκεῖ τῆι βουλῆι *v* τὰ μὲ-ν ἀγαθὰ δέχεσθαι τὴν βουλὴν καὶ τὸν δῆμο-ν τὰ γεγονότα ἐν τοῖς ἱεροῖς ἐφ’ ὑγιείαι κ-αὶ σωτηρίαι τῆς βουλῆς καὶ τοῦ δήμου τοῦ Ἀθηναίων καὶ παίδων καὶ γυναικῶν καὶ ὑπ-ὲρ τοῦ βασιλέως Ἀντιγόνου καὶ Φίλας τῆς βασιλίσσης καὶ τῶν ἐκγόνων αὐτῶν *v* ἐπει-δὴ δὲ ἡ ἱέρεια τῆς Ἀγλαύρου τά τε εἰσαγώγ-εια καὶ τὰς θυσίας ἔθυσε τὰς προσηκούσα-ς, ἐπεμελήθη δὲ καὶ τῆς εὐταξίας τῆς ἐν τῆ-ι παννυχίδι, ἐκόσμησε δὲ καὶ τὴν τράπεζα-ν, ἐπαινέσαι τὴν ἱέρειαν τῆς Ἀγλαύρου *vv* Τιμοκρίτην Πολυνίκου Ἀφιδναίου θυγατ-έρα καὶ στεφανῶσαι αὐτὴν θαλλοῦ στεφάν-ωι εὐσεβείας ἕνεκα τῆς πρὸς τοὺς θεούς. ἀ-ναγράψαι δὲ τὸ ψήφισμα τὸν γραμματέα τὸ-ν κατὰ πρυτανείαν ἐν στήλει λιθίνει καὶ στῆσαι ἐν τῶι ἱερῶι τῆς Ἀγλαύρου, εἰς δὲ τ-ὴν ἀναγραφὴν τῆς στήλης μερίσαι τοὺς ἐπ-ὶ τῆι διοικήσει τὸ γενόμενον ἀνάλωμα.

ἡ βουλή
ὁ δῆμος
τὴν ἱέρειαν
Τιμοκρίτην.